www.tezaurliturgic.ro

†

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΔΟΝΑΤΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΕΥΡΟΙΑΣ

(ἑορταζομένου τῇ 30η Ἀπριλίου)

Ἀντεγράφη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ἐκ παλαιοῦ χειρογράφου, συμπληρωθέντων τῶν λειπομένων ἐκ τῆς ἀκολουθίας τοῦ μακαριστοῦ Γέρ. Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,

* Ἅγιον Ὄρος Ἄθως * ͵βις' * 2016 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





# Τῇ Λ΄ ΤΟΥ ΜΗΝΟΣ ΑΠΡΙΛΙΟΥ
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΔΟΝΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΕΥΡΟΙΑΣ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Δονᾶτε πανεύφημε πιστούς, ἡ σὴ μνήμη σήμερον, προσεκαλέσατο ἅπαντας, τιμῆσαι βίον σου, καὶ πληθὺν θαυμάτων, ἣν Θεοῦ τῇ χάριτι, ἐτέλεσας εὐχαῖς καὶ δεήσεσι, δοξάσας Κύριον, Ὃν δυσώπει πανσεβάσμιε, ὑπὲρ πάντων, τῶν πόθῳ ὑμνούντων σε.

Εὐροίας ἐκλέλεξαι ποιμήν, Πάτερ χριστοκάρδιε, καὶ συνετῶς καθωδήγησας, ζωῆς εἰς ὕδατα, ποίμνην σου Δονᾶτε, ἔχων θείου Πνεύματος, τὴν χάριν καὶ θαυμάτων ἐνέργειαν, δι' ὧν ἀπέδειξας, εὐσεβοῦσιν οἷα δύναται, Ὀρθοδόξων, ἡ πίστις ἡ ἄμωμος.

Δονᾶτε ὡς ἥλιος αὐγαῖς, πᾶσαν τὴν ὑφήλιον, ταῖς τῶν θαυμάτων ἐλάμπρυνας, ὅθεν καὶ δράκοντα, ἐν Σωρείᾳ πάτερ, ἔνδοθεν φωλεύοντα, πηγῆς δυνάμει Πνεύματος εἵλκυσας, καὶ ἐθανάτωσας, Ἱεράρχα παμμακάριστε, καὶ τὸ ὕδωρ, εὐχαῖς σου ἐγλύκανας.

Δονᾶτε ὡς ἄλλος Ἠλιού, οὐρανοὺς ἠνέῳξας, καὶ ὑετὸν κατεβίβασας, εἰς γῆν τὴν ἄνυδρον, τῇ δὲ σῇ δεήσει, νεκρὸν ἐξανέστησας, καὶ κόρην βασιλέως ἐλύτρωσας, ἥν περ κατέθλιβεν, ἡ τοῦ δαίμονος ἐνοίκησις, καὶ βιαίως, αὐτὴν κατεσπάραττε



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα. Ἦχος πλ.β΄.

Σοῦ ἐξεχύθη χάρις ἐν χείλεσι, Δονᾶτε παμμακάριστε, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ θεότητι.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πᾶσα ἡ τοῦ Χριστοῦ, ἁγία Ἐκκλησία, τὰ θαύματα δοξάζει, ἅπερ πιστοῖς εἰργάσω, Δονᾶτε ἀξιάγαστε.

Στίχ.*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Ἡ μνήμη σου σοφέ, συνήθροισε τὰ πλήθη, ἀγγέλων καὶ ἀνθρώπων, ὑμνῆσαί σε ἀξίως, ὡς στήριγμα τῆς πίστεως.

Στίχ. *Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Λύτρωσαι τῶν δεινῶν, κινδύνων ἡμᾶς πάντας, Δονᾶτε θεοφόρε, ὡς ἄριστος προστάτης, καὶ φίλος Χριστοῦ γνήσιος.

Δόξα. Καὶ νῦν, ὅμοιον.

Δέσποινα ἀγαθή, δυσωπεῖν μὴ ἐλλείπῃς, Χριστὸν τὸν ζωοδότην, ἐκ νεκρῶν ἀναστάντα, οἰκτιρῆσαι τοὺς δούλους σου.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀπολυτίκιον
Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Τῆς πόλεως Εὐροίας ἀνεδείχθης ἐπίσκοπος, καὶ θαυματουργὸς θεοφόρε, Δονᾶτε πατὴρ ἡμῶν. Πηγὴν πικροῦ εἰς γλυκὺ μετέβαλες, καὶ ὄμβρον ἄνωθεν κατήγαγες. Ἄνακτος κόρην τοῦ πονηροῦ ἔσωσας, νεκρὸν ὄντα ἄταφον ἀνέστησας θαυματόβρυτε. Δόξα τῷ σὲ δοξάσαντι, δόξα τῷ σὲ ἐπὶ γῆς φρουρήσαντι, δόξα τῷ χορηγήσαντι ἡμῖν, σὲ πρέσβυν ἀκοίμητον.

τῆς ἑορτῆς καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. ι' καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς δ' καὶ τοῦ Ἁγίου προσόμοια ς'.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Προσευχὴν ἀδιάλειπτον, ἀγρυπνίαν ἐπίμονον, πίστιν ἀκατάγνωστον, βίον ἔνθεον, ὑπομονὴν καὶ ταπείνωσιν, ἀγάπην ἀνόθευτον, καὶ κατάνυξιν ἀσκῶν, καὶ εὑρὼν χάριν ἔλεος, Πάτερ ὅσιε, οὐρανόθεν Δονᾶτε ἰατρεύεις, τῶν πιστῶς σοι προστρεχόντων, πάντων τὰς νόσους ἐν Πνεύματι.

Ὡς Ἠλίας ἠνέῳξας, οὐρανοὺς Πάτερ ὅσιε, καὶ τῆς γῆς τοὺς αὔλακας κατεμέθυσας, νεκρὸν ἐντεύξει ἀνέστησας, ὀλέθριον δράκοντα, ἀπενέκρωσας σοφέ, καὶ πηγὴν ζῶντος νάματος, τοῖς αἰτοῦσί σε, ἐχαρίσω εἰς δόξαν τοῦ Κυρίου, τοῦ μεγάλως ἐπὶ γῆς σε, πάτερ Δονᾶτε δοξάσαντος.

Μακαρίως ἐβίωσας, καὶ ὁσίως ἐνίσχυσας, τοὺς παρατυγχάνοντας ἀντιλήψεσι, καὶ ἐνεργείαις θαυμάτων σου, Δονᾶτε πανθαύμαστε, καὶ ἰάσεων πηγάς, τοὺς πιστῶς αἰτουμένους σε, προσενήνοχας, ἐκ

φθορᾶς καὶ κινδύνων πολυτρόπων, ἐκλυτρούμενος παμμάκαρ, υἱοὺς φωτὸς ἐργαζόμενος.

Ἐν φωναῖς ἀλλαλάξωμεν, ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τὸ σεπτὸν κειμήλιον τοῦ Θεοῦ ἡμῶν, ἱεραρχῶν τὸ θησαύρισμα, τὴν βάσιν τῆς πίστεως, καὶ παθῶν ἐκμειωτήν, τῶν δαιμόνων ἀντίπαλον, καὶ συνόμιλον, τῶν ἁγίων Ἀγγέλων καὶ τῆς ἄνω, Βασιλείας κληρονόμον, Δονᾶτον θεῖον θεόφρονες.

Χαριτώνυμον σύνταγμα, λαμπροδώρητον ἄθροισμα, τῶν δικαίων σήμερον ἱερέων τε, καὶ τῶν ὁσίων συνέλθετε, καὶ χαίροντες ᾄσατε, καὶ δοξάσατε λαμπρῶς, ἐν τῇ μνήμῃ τοῦ Μάκαρος, καὶ βοήσατε, ἀνυμνοῦντες αὐτοῦ τὴν πολιτείαν, καὶ ζωὴν τὴν μακαρίαν, χαρὰ γὰρ πέλει σωτήριος.

Λαμπροφόροι προσέλθετε, καὶ σκιρτῶντες χορεύσατε, χαρὰν προμηνύοντες τὴν εὐφρόσυνον, ἵνα Δονάτου μνημόσυνον, τελέσωμεν σήμερον, ἐν χαρᾷ πνευματικῇ, ὅπως τύχωμεν χάριτος, καὶ λαμπρότητος, παρὰ μόνου τοῦ πρώτου Ἱεράρχου, καὶ χαροποιοῦ Δεσπότου, Χριστοῦ χαρίζοντος χάριτας.

Δόξα. Ἦχος πλ.β'.

Δεῦτε τῶν φιλεόρτων τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὸν πανένδοξον καὶ θεῖον Ἱεράρχην, ᾀσματικοῖς ἐγκωμίοις, τιμήσωμεν λέγοντες· Χαίροις ὁ τῆς Εὐροίας ποιμὴν καὶ μέγας χορηγός, καὶ στύλος ἀπερίτρεπτος. Χαίροις φωστὴρ τηλαυγέστατε, ὁ τὰ τοῦ κόσμου πέρατα, διαλάμπων τοῖς θαύμασι. Χαίροις τῶν πλανωμένων ὁδηγὸς καὶ εἰρήνη, καὶ τῶν λυπουμένων ἡ θεία χαρμοσύνη. Καὶ νῦν, Δονᾶτε μακάριε, μὴ παύσῃ πρεσβεύειν Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἀεί, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.
Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Τὰ Ἀναγνώσματα

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα
Ἦχος α'.

Φαιδρὰ μὲν ἐπέφανεν ἑορτή, λαμπρὰ δὲ ἀνέτειλεν ἡμέρα, προξενοῦσα σωτηρίαν τοῖς πιστοῖς. Σήμερον γὰρ ὁ Εὐροίας ποιμὴν συγκαλεῖται ἡμᾶς, Δονᾶτος ὁ πολυθρύλλητος, πρὸς ἑστίασιν πνευματικήν, τῶν ἱερῶν ἀγώνων αὐτοῦ. Δεῦτε οὖν φιλέορτοι μετ' ἐγκωμίων αὐτῷ προσυπαντήσωμεν, πρεσβεύει γὰρ ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ἦχος β'.

Τὸν φωστῆρα τὸν θεολαμπῆ, τὸν τοῦ κόσμου λύχνον, καὶ πίστεως πρόμαχον, Δονᾶτον εὐφημήσωμεν. Μετ' Ἀγγέλων γὰρ ἀγάλλεται,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



λαβὼν τὸ στέφος τῆς ἀφθαρσίας παρὰ τοῦ μόνου Θεοῦ, καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ'.

Μῦρον ἐκκενωθὲν ἐπὶ σοὶ τῆς χάριτος, ἔχρισέ σε ἱερουργῆσαι τὸ Εὐαγγέλιον τῆς Βασιλείας τῶν οὐρανῶν, Δονᾶτε θαυματοφόρε. Τοῦ Χριστοῦ εὐωδία γενόμενος, τῆς ὀσμῆς τῆς γνώσεως αὐτῆς τὴν οἰκουμένην ἐπλήρωσας· διὸ τὰς φωνὰς τῶν ἱκετῶν σου εὐμενῶς δεχόμενος, αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε, τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Θεοφόρε Δονᾶτε, σὺ καὶ μετὰ θάνατον ἐν οὐρανοῖς ζῇς ἐν τῷ Χριστῷ, δι' οὗ τῷ κόσμῳ σεαυτὸν ἐσταύρωσας. Ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενόμενος, ἔζης ἀληθῶς. Οὐ γὰρ ἔζης σεαυτῷ, ἔζη δὲ μᾶλλον ἐν σοὶ Χριστὸς ὁ Θεὸς ἡμῶν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ.α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐπὶ τῇ λαμπροφόρῳ μνήμῃ τοῦ Ἱεράρχου πιστῶς. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν θεοφόρον κοσμείτωσαν ἐν ὕμνοις, ὡς θαυμάτων βλύσαντα ποταμούς. Ποιμένες πανσεβάσμιοι, τὸν τοῦ καλοῦ Ποιμένος, σεπτὸν ἱεροθύτην, συνελθόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ κλαίοντες τὴν χαρμονήν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν, οἱ ἐν σκότει τὸν σελασφόρον, οἱ ἐν πολέμοις τὸν νικηφόρον. Οἱ πάντες τὸν τὰς αἰτήσεις πάντων ὑπακούοντα, μέγιστον ἱεράρχην ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Δονᾶτε θεοδόξαστε, πρόφθασον ἐξελοῦ ἡμᾶς, ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεως καὶ πάσης θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Μακαρίζομέν σε ἡ τῆς ἑορτῆς.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ψάλλομεν στιχηρὰ προσόμοια.

*Ποίημα (+) Γέρ.Γερασίμου Μικραγιαννανίτου.*

Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῆς Εὐροίας ποιμήν, καὶ τοῦ Βοδίνου πολιοῦχος καὶ ἔφορος, συμπάσης Ἠπείρου κλέος, καὶ ἑωσφόρος λαμπρός, ὁ παρέχων πᾶσι, τὴν βοήθειαν, Δονᾶτε μακάριε, ἀρετῶν ἐνδιαίτημα, τῆς οὐρανίου, ἐπιπνοίας θησαύρισμα, λειμὼν εὔοσμος, ἀπαθείας καὶ χάριτος. Λύχνος ὁ παμφαέστατος, τῆς ἄνω λαμπρότητος, ὁ τῶν θαυμάτων ἐκλάμπων, τὰς ἀστραπὰς ἐν τοῖς πέρασι. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. *Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Χαίροις, ὁ Ἱεράρχης Χριστοῦ, ἀρχιερέων ἡ λαμπρὰ ὑποτύπωσις, Δονᾶτε θαυματοφόρε, ὁ ὑετοὺς πρὸς τὴν γῆν, ἐπομβρήσας πάτερ τῇ ἐντεύξει σου, νεκρὸν ἀναστήσας δέ, πρὸς ἐρώτησιν Ἅγιε, ὁ ἀναβλύσας, θαυμαστῶς πηγὴν ὕδατος, καὶ τὸν δράκοντα, ἀνελὼν τὸν ὀλέθριον. Ὅθεν καὶ ἐθεράπευσας, τῷ λόγῳ σου Ὅσιε, τοῦ βασιλέως τὴν κόρην, τῆς ἐνεργείας τοῦ δαίμονος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Χαίρει, Βοδίνου κώμη λαμπρῶς, καὶ χαρμοσύνως ἑορτάζει τὴν μνήμην σου, Δονᾶτε θαυματοφόρε, καὶ σὺν αὐτῇ δὲ σκιρτᾷ, χώρα τῆς Ἠπείρου ἐν τῇ δόξῃ σου, προστάτην σε ἔνθεον, κεκτημένη καὶ καύχημα, καὶ πολιοῦχον, καὶ θερμὸν ἀντιλήπτορα, ταύτῃ νέμοντα, πᾶσαν χάριν σωτήριον. Ὅθεν τῇ ἀντιλήψει σου, αὐτὴν ἀεὶ φύλαττε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀποδιώκων ἐκ ταύτης, φθοροποιὸν πᾶσαν μάστιγα, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Αἱ φαειναί σου ἀρεταί, οὐ μόνον ἐν Ἠπείρῳ ἐξέλαμψαν, ἀλλὰ καὶ πᾶσαν Ἐκκλησίαν, ὡς λαμπάδες θεαυγεῖς, καταφαιδρύνουσιν Ὅσιε. Περιφανὴς γὰρ ἐν τοῖς πέρασι τῷ σῷ βίῳ ἐδείχθης, καὶ βασιλέων ὄψεις, τῇ παρουσίᾳ σου εὔφρανας. Ὅτι ὡς ἄγγελος αὐτοῖς, ἐν σώματι ἐφάνης, ὡς τοῦ Χριστοῦ θεράπων γνήσιος, καὶ παραδόξων ἔργων διάκονος. Καὶ νῦν, Δονᾶτε μακάριε, τῆς ἄνω δόξης κατατρυφῶν, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Εὐροίας ποιμένα σε, καὶ τῆς Ἠπείρου πυρσόν, ἡ χάρις ἀνέδειξεν, ὡς Ἱεράρχην σοφόν, Δονᾶτε μακάριε· θαύμασι γὰρ ἐκλάμψας, καὶ λαμπρότητι βίου, νέμεις τοῖς σὲ τιμῶσι, πᾶσαν ἔνθεον δόσιν. Διὸ τῇ προστασίᾳ σου, Πάτερ προστρέχομεν.

Δόξα. Ἕτερον. Τῆς ἐρήμου πολίτης.

Τὸν κλεινὸν Ἱεράρχην καὶ Εὐροίας τὸν πρόεδρον, τὸν θαυματουργίαις ποικίλαις, ἐν τῷ κόσμῳ ἐκλάμψαντα, Δονᾶτον εὐφημήσωμεν πιστοί, ὡς μέγαν ἀντιλήπτορα ἡμῶν, ἵνα λάβωμεν πλουσίαν τὴν παρ' αὐτοῦ, βοήθειαν κραυγάζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχοςα'. Τὸν τάφον σου, Σωτήρ.

Θαυμάτων αὐτουργός, γεγονὼς θεοφόρε, ἰάτρευσον ἡμῶν, τῶν παθῶν τὰς ὀδύνας, τοὺς πόνους ἐλάφρυνον, καὶ ὑγίειαν χορήγησον, ὅπως σήμερον, ἐν τῇ ἁγίᾳ σου μνήμῃ, ἀνυμνῶμέν σε, καὶ κατὰ χρέος τιμῶμεν, Δονᾶτε πανθαύμαστε.

Δόξα, ὅμοιον.

Ναμάτων ζωτικῶν, ἰατὴρ ἀνεδείχθης, καὶ πάντων πρὸς Θεόν, χορηγὸς καὶ μεσίτης, Δονᾶτε μακάριε, τῆς Εὐροίας τὸ καύχημα, ῥῦσαι ἅπαντας, τῆς ἐνεστώσης ἀνάγκης, τοὺς ἱκέτας σου, καὶ τῆς φλογὸς τῆς μελλούσης, τῇ θείᾳ πρεσβείᾳ σου.

Καὶ νῦν, τῆς ἑορτῆς.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸν δόλιον ᾔσχυνας καὶ παλαιὸν πτερνιστήν, νεκρώσας τὸν δράκοντα, τῇ σῇ θερμῇ προσευχῇ, πατέρων ἀγλάϊσμα. Σὺ γὰρ τοῖς βασιλεῦσιν, ἀῤῥωγὸς ἀνεδείχθης, καὶ τοῖς ἐνοχλουμένοις, μέγιστος καθαιρέτης. Διὸ μακαρίζομεν, πάντες τὴν μνήμην σου.
Δόξα, τὸ αὐτό.

Καὶ νῦν, τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν σταυρὸν τοῦ Κυρίου ἀναλαβών, καὶ Αὐτῷ μέχρι τέλους ἀκολουθῶν, ὁσίως ἐβίωσας, καὶ τοῖς πᾶσιν ἐξέλαμψας, ὡς ἀστὴρ παμμακάριστε, Δονᾶτε τοῖς θαύμασι. Νεκρὸν γὰρ ἐξήγειρας, καὶ θηρίον ἀπέκτεινας. Ὅθεν οἱ αὐτόπται, τῶν θαυμάτων πλησθέντες, ὑδάτων προσχύσεσιν, ἀνεβόησαν χαίροντες, σὺν ἡμῖν καὶ

κραυγάζουσι· πρέσβευε Χριστῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἐν πόθῳ, τὴν μνήμην σου Ἅγιε.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος·Τί ἀνταποδώσομεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Πᾶσα πνοή.
Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην, τῇ ιγ' Νοεμβρίου (Εἶπεν ὁ Κύριος· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας τῶν προβάτων).
Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τοῦ Ἱεράρχου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.
Στίχ. *Ἐλέησόν με ὁ Θεός....*

Σοῦ ἐξεχύθη χάρις ἐν χείλεσι, Δονᾶτε παμμακάριστε, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ θεότητι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Οἱ κανόνες τῆς ἑορτῆς εἰς ς' καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η'.
Κανὼν πρῶτος. Ὠιδὴ α'. Ἦχος πλ.β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ταῖς φωτοβόλοις ἀκτῖσι καταυγασθείς, τοῦ Ἁγίου Πνεύματος, Ἱεράρχης καὶ ποιμήν, ἱερῶς ἐβίωσας ἀστήρ, γεγονὼς φωτοειδής, ὅθεν τιμῶμέν σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς καθαρὸς ὑπεδέξω χρῖσμα σεπτόν, ἱερεὺς γενόμενος, τοῦ Κυρίου ἀληθής, καὶ λαὸν ἐποίμανας σοφέ, τῶν Ἁγίων κοινωνὸς ἀναδεικνύμενος.

Πῦρ ἡδονῶν καταφλέξας τῷ δροσισμῷ, τῶν πολλῶν δακρύων σου, ἀπεδίωξας φλογμόν, νοσημάτων ῥεύμασι ταῖς σαῖς, εὐπροσδέκτοις προσευχαῖς, Δονᾶτε μέγιστε.

Θεοτοκίον

Ἁγιωτέρα δειχθεῖσα τῶν Χερουβίμ, τὸν αὐτοῖς ἀπρόσιτον, ὑπεδέξω ἐν γαστρί, καὶ Αὐτὸν ἐκύησας Ἁγνή, διασῴζοντα ἡμᾶς, ἐκ πάσης θλίψεως.

Κανὼν δεύτερος. Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.

Ταῖς ἐπαλλήλαις τρικυμίαις πάντοτε, περικυκλούμενος, Πάτερ σοι προστρέχω, μέλπων τοῖς ἐπαίνοις σε, κατατολμῶν ὁ ἄθλιος, γαληνιαίαν μοι αἴγλην, καταπεμφθῆναι δυσώπησον, ζόφον τῶν παθῶν διαλύουσαν.

Κατακοσμήσας ἐναρέτοις πράξεσι, τὴν ἱεράν σου στολήν, καὶ χρισθεὶς ἐλαίῳ, τοῦ Ἁγίου Πνεύματος, τῆς Ἐκκλησίας γέγονας, εὐκλεὴς Ἱεράρχης, ὀφθεὶς ἐν πᾶσι σεβάσμιος, καὶ θαυματοποιὸς καὶ περίδοξος.

Δόξα Πατρί.

Ἔνθεον φίλον πληρωτὴν καὶ κήρυκα, τῶν ἑαυτοῦ ἐντολῶν, καθορῶν σε μάκαρ, Ἰησοῦς ὁ Κύριος, εἰσῆλθεν ὡς ὑπέσχετο, σὺν Πατρὶ τῷ ἀνάρχῳ, ἐν σοὶ μονὴν ποιησάμενος, δείξας σε ναὸν ἁγιότητος.

Καὶ νῦν. Θεοτοκίον.

Πρὸς τὸν Υἱόν σου τὰς ἀχράντους χεῖράς σου, ἐν αἷς ἐβάστασας, δεῖξον καὶ μαστούς σου, Κυρίῳ οὓς ἐθήλασε, τοῖς τε Αὐτοῦ παθήμασι, μητρικούς σου ἀγῶνας, συναπιοῦσα ἀντίλυτρον, πάντων τῶν πιστῶς δοξαζόντων σε.

Ὠιδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Μεγίστοις πόνοις τῆς σαρκός, κλέος μέγιστον εὗρες, ἱεράρχα Δονᾶτε, διὰ σοῦ γὰρ τῶν βροτῶν, ἰᾶται διηνεκῶς, ἅπας πόνος· ὅθεν ἀνυμνοῦμέν σε.
Μαράνας πάθη τῆς σαρκός, καὶ νεώσας τελείως, ἱεράρχα Δονᾶτε, ἐξανέστησας νεκρούς, ἐντεύξεσιν ἱεραῖς, ὑπὸ πάντων, μάκαρ δοξαζόμενος.

Ἐν Θεῷ πάτερ προσευχῇ, ὕδωρ ζῶν ἀναβλύσας, τὸν Δεσπότην ᾐτήσω, εἰς τόπον ἁγιασμοῦ, καὶ νοσημάτων πολλῶν, ἰατρεῖον, ὅθεν εὐφημοῦμέν σε.

Θεοτοκίον

Γαστρί σου Λόγον τοῦ Πατρός, ὑπεδέξῳ ἀῤῥήτως, ὑπὲρ νοῦν τε καὶ λόγον, Θεοτόκε σαρκικῶς, ἐκύησας ἐπὶ γῆς, εὐσπλαγχνίᾳ, κόσμον διασῴζοντα.

Ἄλλος, Ὁ στερεώσας κατ᾽ἀρχάς.

Ποίμνην Εὐροίας πρὸς νομάς, ἀθανασίας θεόφρον, καθωδήγησας καὶ ταύτην ἐκθρέψας, ταῖς σοφαῖς σου διδαχαῖς, Δονᾶτε ἐξεδίωξας, λύκους τοὺς ἀνημέρους, σταυροῦ τῇ ῥάβδῳ τροπούμενος.

Τῆς διακρίσεως λαμπρός, λύχνος ἀκοίμητος ὤφθης, λειτουργὸς θαυματουργὸς καὶ ἀκρέμων, τῶν παθῶν ἐκμειωτής, καὶ ἱερὸν ἀγλάϊσμα, θείων ἀρχιερέων, πάτερ Δονᾶτε θεόληπτε.

Δόξα.

Ἐκ τοῦ λειμῶνος τῶν Γραφῶν, ῥόδον ἡδύπνοον ἔφυς, καὶ ὀσμαῖς τῶν μυριπνόων σου λόγων, δυσωδίας τῶν δεινῶν, αἱρέσεων κατέπαυσας, πληρώσας εὐωδίας, τῶν Ὀρθοδόξων τὸ φρόνημα.
Καὶ νῦν. Θεοτοκίον.

Ὁ πρὸ νεκρώσεως νεκρός, ὁ πρὸ θανῆς τεθαμμένος, ὁ πρὸ μνήματος ἐν μνήματι μένων, τῆς λιθώδους καὶ σκληρᾶς, ἀναλγησίας Δέσποινα, τὴν τῆς ζωῆς Μητέρα, σὲ ἱκετεύω ζωῶσαί με.

Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Καθαρώτατον σκεῦος τοῦ θείου Πνεύματος, ἀνεδείχθης Δονᾶτε, θεομακάριστε, καὶ ἰάσεων πηγή, τῆς ἀῤῥωστίας τὸν φλογμόν, τῶν προσδραμόντων σοι πιστῶς, καὶ δεομένων εὐλαβῶς, ἀπόσβεσον καὶ ὑγίειαν, ὡς ἰατρὸς τούτοις δίδου, καὶ δροσοβόλον πνεῦμα ἐκφύσησον.

ἕτερον, ὅμοιον.

Τὸν λειμῶνα τῶν λόγων τῶν θεοπνεύστων γραφῶν, τὸν ἡμᾶς ὁδηγοῦντα πρὸς τὴν μετάνοιαν, τὸν ποικίλους πειρασμοὺς ὑπομείναντα, ἱεράρχην τοῦ Χριστοῦ, Δονᾶτον πάντες οἱ πιστοί, τιμήσωμεν ἐπαξίως, πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐλατὴρ τῶν δαιμόνων ἀποδειχθείς, καὶ φωστὴρ εὐσεβείας ἀποφανθείς, ἔδειξας τοῖς πέρασι, τῶν θαυμάτων τὴν δύναμιν, καὶ ναοὺς εἰδώλων, συντρίψας ἀνήγειρας, ἐκκλησίαν μάκαρ εἰς δόξαν Θεοῦ ἡμῶν. Ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην, πιστῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι, Δονᾶτε μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ὠιδὴ δ'. Χριστός μου δύναμις.

Ἰστίῳ Ὅσιε, σταυροῦ πτερούμενος, ἀχειμάστως τοῦ βίου τὸ χαλεπόν, πλεύσας σου κλυδώνιον, καὶ ἐν λιμένι τῆς ζωῆς, ἀνεπαύσω ἀγαλλόμενος.

Σταγόσιν ἔνδοξε, θερμῶν δακρύων σου, τὸν αὐχμὸν ἀναστείλας ὄμβρους τῇ γῇ, ἄνωθεν κατήγαγες, καρποφόρους τοῦ Θεοῦ, ἐκπληροῦντος τὰς ἐντεύξεις σου.

Τὰ σὰ τεράστια, καὶ κατορθώματα, τὴν σεμνὴν πολιτείαν τοὺς ἱερούς, πόνους μακαρίζομεν, πάτερ Δονᾶτε, εὐσεβῶς, ἱερέων ἐγκαλλώπισμα.

Θεοτοκίον

Ὡραῖος κάλλεσιν, ὁ ὡραιότατος, εὑρηκὼς Θεὸς Λόγος τὴν σὴν νηδύν, ᾤκησε Πανάμωμε, καὶ συντριβέντας τοὺς βροτούς, ἐκαινούργησεν ὡς εὔσπλαγχνος.

Ἄλλος, Σύ μου ἰσχύς, Κύριε.

Τῶν ἀρετῶν, δένδρον ὑψίκομον γέγονας, ἐπομβρίαις τοῦ Ἁγίου Πνεύματος, ὑπαρδευόμενος δαψιλῶς, Δονᾶτε τρισμάκαρ, θείοις καρποῖς εὐθυνούμενος, διδοὺς πᾶσιν ἀπαύστως, ἐμπλησμὸν σωτηρίας, τοῖς ἐν πίστει πρὸς σὲ καταφεύγουσιν.

Ἡ εὐκλεὴς Ἅγιε, καὶ φωτοφόρος σου, θεία μνήμη, ὥσπερ ἄλλος ἥλιος ἐπιφανείς, ἅπασαν τὴν γῆν, θαύμασιν ἐκλάμπει, καὶ θάλπει τοὺς εὐφημοῦντάς σε, διὸ Χριστῷ πρεσβεύειν, μὴ παύσῃ ὑπὲρ πάντων, τῶν πταισμάτων δωρήσασθαι ἄφεσιν.

Δόξα.

Ἔζη Χριστός, ἐν σοὶ Δονᾶτε μακάριε, καὶ σὺ ἔζης, ἐν αὐτῷ γηθόμενος, καὶ μὴ προσέχων νόμῳ σαρκός· διὸ νῦν σὺν Ἐκείνῳ, τῶν ἐσόπτρρων λυθέντων, βασιλεύεις σοφὲ εὐφραινόμενος.

Καὶ νῦν. Θεοτοκίον.

Μετὰ Θεόν, σὲ προστασίαν κεκτήμεθα, σὺ γὰρ Μήτηρ, Θεοῦ ἐχρημάτισας τοῦ ποιητοῦ, καὶ δημιουργοῦ, καὶ τὴν ἡμετέραν, μορφὴν λαβόντος Πανάμωμε, καὶ ταύτην σεσῳκότος, ἐκ φθορᾶς καὶ θανάτου, καὶ τῇ δόξῃ τῇ θείᾳ δοξάσαντος.

Ὠιδὴ ε'. Τῷ θείῳ φέγγει σου, ἀγαθέ.

Πυρὶ τῶν θείων σου προσευχῶν, ὕλην πᾶσαν ἔφλεξας παθῶν καινοτομούντων τὰ πέρατα,  θαυματουργημάτων ταῖς ἐπομβρήσεσι, Δονᾶτε θεοφόρε, ὅθεν τιμῶμέν σε.

Ῥήσει χειλέων σου ἱερῶν, δράκοντα ἀπέπνιξας σοφέ, ὑπὸ πολλῶν θαυμαζόμενον, πρότερον νεκρώσας σαρκὸς τὸ φρόνημα, Δονᾶτε θεοφόρε ὅθεν τιμῶμέν σε.

Ὅσιος ἄκακος καὶ εὐθύς, πρᾷος εὐσυμπάθητος δειχθείς, φωτισμοῦ θείου ἔμπλεως, τοὺς ἐν ἀγνωσίᾳ λαοὺς ἐφώτισας, Δονᾶτε μελιῤῥύτοις διδασκαλίαις σου.

Θεοτοκίον

Σοφία Λόγος τοῦ Πατρός, ᾤκησε τὴν μήτραν σου Ἁγνή, καὶ ὤφθη τέλειος ἄνθρωπος· ὅθεν σε ὡς τούτου μητέρα Ἄχραντε, συμφώνως ἀνυμνοῦμεν καὶ μακαρίζομεν.

Ἄλλος. Ἵνα τί με ἀπώσω.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ζῶον θανατηφόρον, ἐκ πηγῆς θεάκουστε βροντῇ ἐξέβαλες, καὶ θανατώσας ῥάβδῳ, ἐλυτρώσω ἐκ λύμης τὴν Ἤπειρον, καὶ σαῖς εὐλογίαις, ὕδωρ τὸ ἀνθρωποφόρον, ζωηφόρον τοῖς πᾶσιν ἀνέδειξας.

Βασιλέως τὴν παῖδα, ταῖς θεοπειθέσι σου λιταῖς ἀπήλλαξας, καὶ χαλεπωτάτου, δαιμονίου Δονᾶτε πανθαύμαστε, καὶ γὰρ εἰσακούει, δεήσεως Θεὸς τῶν ὅλων, καὶ ποιεῖ φοβουμένων τὸ θέλημα.

Δόξα.

Σὺν πολλαῖς ἀγρυπνίαις, βίου τὸ κλυδώνιον διαπλεύσας Ὅσιε, εἰς λιμένας θείους, ὡς ἐπόθεις μακάριε ἔφθασας, διὰ τοῦτο πάντες, ἀνευφημοῦμέν σε Δονᾶτε, τὴν σεπτήν σου γεραίροντες κοίμησιν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Θεὸν συλλαβοῦσα, τὸν δημιουργὸν καὶ κτίστην καὶ Κύριον, γενεαί σε πᾶσαι, τῶν ἀνθρώπων Ἁγνὴ μακαρίζομεν, καὶ τῶν ἀσωμάτων, αἱ νοεραὶ ταξιαρχίαι, ὡς Μητέρα Θεοῦ σε δοξάζουσι.

Ὠιδὴ Ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Λυτήριον πρόκειται, νοσημάτων χαλεπῶν, τὸ ἱερόν σου τέμενος, ἐν ᾧ προστρέχοντες πόθῳ πάντων δεινῶν, τὴν λύτρωσιν λαμβάνομεν, ἱερῶς σε Δονᾶτε μακαρίζοντες.

Ἁγίαις ἐντεύξεσιν, ἐνοχλήσεως σοφέ, δαιμονικῆς ἀπήλλαξας, τινὸς Δονᾶτε ἄνακτος προσκληθείς, ποτὲ τὸ θυγάτριον, τοῦ Θεοῦ τῶν ἁπάντων σε δοξάσαντος.

Λαμπτὴρ ἐχρημάτισας, μυστικαῖς ἀνατολαῖς, φωταγωγῶν τὰ πέρατα, τῶν ἀρετῶν σου πάτερ καὶ τῶν πολλῶν, Δονᾶτε ἰάσεων, διὰ τοῦτό σε πίστει μακαρίζομεν.

Ἄλλος. Ἱλάσθητί μοι, Σωτήρ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἱεραρχίας σοφέ, στέφος ἐδείχθης θεόπλοκον, στήλη καὶ ἔμπνους εἰκών, μέγα περιήχημα, καὶ ἄσειστον ἔρεισμα, θείας Ἐκκλησίας, ἱεράρχα θεοδόξαστε.

Δυσωπηθεὶς ἐκ λαοῦ, τὴν γῆν ἀφθόνως κατήρδευσας, ὡς ἄλλος τις Ἠλιού, προσευχῇ πρὸς Κύριον, Δονᾶτε καὶ ἔδειξας, πῶς εὐχὴ ἰσχύει, γινομένη μετὰ πίστεως.

Δόξα.

Ἀδούλωτον καὶ ψυχήν, καὶ σάρκα πάθεσιν ἔδειξας, καὶ τῶν κακῶν τὴν ὁρμήν, παθῶν ἀπενέκρωσας, θεοφόρον ὄργανον, γεγονὼς τοῦ θείου, Παρακλήτου παμμακάριστε.

Καὶ νῦν, Θεοτοκίον.

Ὁ παντοκρατορικῇ, δυνάμει φέρων τὰ σύμπαντα, τὸ ἀσθενὲς τῆς σαρκός, ἐκ σοῦ περιβάλλεται, Παρθένε πανάμωμε, ἐπ' εὐεργεσίᾳ, τῶν ἀνθρώπων ὁ Φιλάνθρωπος.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν πίστιν Χριστοῦ, τρανῶς σὺ ἐδογμάτισας, καὶ ταύτην τηρῶν, εἰς πλῆθος οὕτως ηὔξησας, τὸ πιστόν σου ποίμνιον· διὰ τοῦτο ἀγγέλοις νῦν Δονᾶτε συναγάλλῃ, Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν τιμώντων σε.

Ἕτερον Κοντάκιον. Ἦχος πλ.δ'. Τῇ Ὑπερμάχῳ.

Τὸν ἱεράρχην τοῦ Χριστοῦ τὸν ἱερώτατον,
Δονᾶτον πάντες οἱ πιστοὶ ἀνευφημοῦμέν σε,
ὥσπερ ἄριστον καὶ ἔμπειρον ποιμενάρχην.
Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον,
ἐκ παντοίων ἡμᾶς λύτρωσαι κακώσεων,
ἵνα κράζωμεν· Χαῖρε πάτερ τρισόλβιε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ὁ Οἶκος**

Ἄγγελος μὲν ἐφάνης ἐπὶ γῆς σαρκοφόρος, τῇ πράξει τε καὶ μορφῇ
Ἱεράρχα· ὁ γὰρ τοῦ οὐρανοῦ ποιητὴς κατεσκεύασέ σε δοχεῖον
ἔντιμον, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾷν σοι ταῦτα·
Χαῖρε τῆς Εὐροίας ποιμὴν θεοπρόβλητος,
Χαῖρε τῆς Σωρείας προστάτης θερμότατος.
Χαῖρε ὁ στύλος τῆς Ἐκκλησίας,
Χαῖρε τὸ δόγμα τῆς εὐσεβείας.
Χαῖρε, σὺ γὰρ ἐξανέστησας ὄντα ἄταφον νεκρόν,
Χαῖρε, ὅτι καὶ διέλυσας φοβερότατον αὐχμόν.
Χαῖρε, ὅτι ὑπάρχεις ἱεράρχης τῶν μυστηρίων,
Χαῖρε δι' οὗ ὕδωρ ἐκκέχυται ζωηφόρον.
Χαῖρε τοῦ βασιλέως ἰασάμενος θυγατέρα,
Χαῖρε τῇ εὐχῇ σου τὸν αὐχμὸν διαλύσας.
Χαῖρε χαρὰ πάντων τῶν θλιβομένων,
Χαῖρε φυγὴ δραστικὴ τῶν δαιμόνων.
Χαῖρε Πάτερ τρισόλβιε.

*Συναξάριον*

**Τῇ Λ΄ τοῦ μηνὸς Ἀπριλίου τὴν μνήμην ἑορτάζομεν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Δονάτου, ἐπισκόπου Εὐροίας τῆς ἐν Ἠπείρῳ, τοῦ θαυματουργοῦ.**

Στίχοι

*Δονεῖ Δονᾶτος τὸν τὰς ψυχὰς δονοῦντα,*
*Τὸν εἰρηνικὸν κηρύττων Θεὸν Λόγον.*
*Τίς μὴ Δονᾶτον ἐν ἔργοις δοξάσει,*
*ὅνπερ τὰ ἔργα πανταχοῦ ἐδόξασαν.*

**Σύντομος βίος**

Οὗτος ὁ ἅγιος Ἱεράρχης, ὅθεν ἦν καὶ τίνων ἔφυ γονέων, ἡ κατ' αὐτὸν ἱστορία οὐκ ἐδήλωσεν. Ὅπερ δὲ ἴσμεν τοῦτο καὶ λέγομεν. Ὑπῆρξεν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μεγάλου.

www.tezaurliturgic.ro



Ἐπίσκοπος δὲ ἐγένετο ἐν πόλει λεγομένῃ Εὔροια, κειμένῃ κατὰ τὴν παλαιὰν Ἤπειρον, ἀνατολικῶς τοῦ Βουθρωτοῦ.Ἐν δὲ τῇ πόλει ταύτῃ ἦν χωρίον καλούμενον Σωρεία, ἐν ᾧ ἦν πηγὴ ὕδατος πικροτάτου καὶ ὅσοι ἐκ τούτου ἔπινον δεινῷ θανάτῳ παρεδίδοντο. Θανατηφόρον δὲ θηρίον ὅπερ ἐνεφώλευεν τῇ πηγῇ συνήντησεν ποτε τῷ μακαρίῳ καὶ ἐπειρᾶτο τῇ οὐρᾷ αὐτοῦ συμπεριλαβεῖν καὶ συμποδίσαι τοὺς πόδας τοῦ ὄνου, οὗ ἐπωχεῖτο ὁ Ἅγιος. Ὅστις ἐπιστραφεὶς καὶ ἰδὼν τὸ θηρίον, ἔλαβε τὸ σχοινίον ἐν ᾧ ἔτυπτε τὸ ὑποζύγιον καὶ τύψας κατὰ νῶτον τὸ θηρίον μίαν μάστιγα δι' αὐτοῦ ἐπήνεγκεν, ὃ καὶ παρευθὺς ἀπέψυξεν. Τότε συλλέξαντες ξύλα οἱ αὐτόπται τοῦ θαυμασίου, κατέκαυσαν τὸ θηρίον. Ὅθεν ἐνῷ πρώην οὐδεὶς ἐτόλμα τοῦ ὕδατος ἅψασθαι, τοῦ Ἁγίου εὐχὴν ποιήσαντος καὶ τὴν πηγὴν εὐλογήσαντος καὶ πρώτου πιόντος προέτρεψε καὶ τοῖς πᾶσιν ἀδεῶς ἐφεξῆς πίνειν. Ἐξ οὗ πιόντες καὶ εὐφρανθέντες οἱ ὑπακούσαντες, ἀβλαβεῖς εἰς τὸ ἑξῆς εἰς τὰ ἴδια ἐπορεύοντο.

Ταῦτα μαθὼν ὁ βασιλεὺς Θεοδόσιος μετεκαλέσατο ἐν Κωνσταντινοπόλει πάντας τοὺς ἐκεῖσε ἐπισκόπους καὶ ποῖος ἐστὶν ὁ Δονᾶτος ἐπυνθάνετο, ὁ τὸν δράκοντα διὰ φραγγελίου ἀποκτείνας καὶ δι' εὐχῆς βροχὴν ἐξ οὐρανοῦ καταβιβάσας. Οἱ δὲ ὑπέδειξαν αὐτὸν λέγοντες· Οὗτός ἐστι, Βασιλεῦ. Καὶ ὁ βασιλεὺς κατασπαζόμενος αὐτὸν ἀπήγαγεν πρὸς τὴν βασίλισσαν καὶ πεσόντες ἀμφότεροι ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ ἐκλιπαροῦντες αὐτὸν καὶ λέγοντες· Δοῦλε τοῦ Θεοῦ, παρακλήθητι καὶ ποίησον μεθ' ἡμῶν ἔλεος. Μονογενὲς γὰρ θυγάτριον ἔχοντες ὑπὸ δεινοῦ ἐνοχλούμεον δαιμονίου μεγάλως, τὴν ψυχὴν συντριβόμεθα. Εἰ οὖν θεραπεύσεις αὐτήν, λάβε τὸ ἥμισυ τῆς οὐσίας αὐτῆς. Καὶ ὁ Ἅγιος· Ἐλθέτω ἡ παῖς. Οἱ δὲ τὸν Ἅγιον ἐπήγαγον πρὸς αὐτὴν καὶ ἐπιτιμηθέντος τοῦ δαιμονίου εὐθὺς ἰάθη ἡ κόρη. Τοῦ δὲ βασιλέως διδόντος τὸ ὑποσχεθέν, οὐ κατεδέξατο ὁ μακάριος λαβεῖν τοῦτο. Διὰ δὲ τὴν ἀγαθὴν πρόθεσιν ᾐτήσατο τόπόν τινα δοθῆναι πλησίον τῆς χώρας αὐτοῦ κείμενον καὶ καλούμενον Σωρεία. Ὃν εὐθὺς ἐδωρήσατο ὁ βασιλεὺς δι' ἐγγράφου προστάγματος.

Οὗτος ὁ μακάριος καὶ νεκρὸν ἀνέστησε ταφῆναι κωλυόμενον ἕως οὗ τὸ ὀφειλόμενον τῷ δανειστῇ ἀποδῷ. Μετὰ δὲ τὸ διαλυθῆναι τὸ χειρόγραφον, κοιμηθῆναι πάλιν τοῦτον προσέταξε, ἄχρις ἂν ἡ

κοινὴ ἀνάστασις πάντων γένηται. Ἐπειδὴ δὲ τότε καὶ αὐχμῷ ἡ γῆ ἐπιέζετο, δι᾽ ἐντεύξεως τοῦ βασιλέως ὁ Ἅγιος ἐξελθὼν τῆς πόλεως ηὔξατο καὶ τοσοῦτος κατῆλθεν οὐρανόθεν ἐν τῇ πόλει ὑετός, ὡς μεθυσθῆναι τὴν γῆν καὶ μηδὲν κατακλυσμοῦ διαφέρειν. Ἐφρόντιζε δὲ ὁ βασιλεύς, ὅτι μονοχίτων ἦν ὁ Ἅγιος, καὶ ὁ ὑετὸς σφοδρὸς πάνυ ἐγένετο, ἵνα μὴ βραχῇ ὁ Ἅγιος. Ἀλλὰ μετὰ μικρὸν ἐλθόντος αὐτοῦ εἰς τὰ βασίλεια καὶ μηδόλως βραχέντος, μηδὲ μικρὰν νοτίδα ἔχοντος, θάμβος ἐπὶ τούτῳ κατεῖχε πάντας. Ὁ δὲ βασιλεύς, ἐτέρπετο τοῖς λόγοις αὐτοῦ καὶ ἔδωκεν αὐτῷ χρυσίον ἱκανὸν λόγῳ οἰκοδομῆς ναοῦ καὶ ἀπέστειλεν εἰς τὰ ἴδια. Ἄλλος δεῖ γράψαι ἕτερα τινὰ ἐπιτήδεια πρὸς τὸν τοῦ ναοῦ τούτου καλλωπισμόν. Ἀπελθὼν δὲ ὁ Ἅγιος εἰς τὰ ἴδια καὶ τὸν ναὸν οἰκοδομήσας καὶ τὸν ἴδιον εὐτρεπίσας τάφον καὶ εἰς μακρὸν γῆρας ἐλάσας, ἀπῆλθεν ἐν εἰρήνῃ πρὸς Κύριον.

*Ταῖς αὐτοῦ καὶ πάντων τῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Σωφροσύνης καὶ πραότητος εἰκόνα σε, σέβομεν νῦν Δονᾶτε ἱεράρχην τε καὶ θαυμάτων πάντων αὐτουργόν, παθῶν ἐλατῆρα ψυχικῶν, σθένει Θεοῦ.

Ὡς περίδοξος ὁ θεῖος Πάτερ οἶκός σου, αἴγλῃ θαυμάτων πάντοτε λαμπρυνόμενος, φωτίζει γὰρ πίστει ἐν αὐτῷ, τοὺς σὲ μακαρίζοντας ἀεί, ἀρχιερέων καλλονὴν καὶ ἰαμάτων πηγήν.

Δόξαν αἴνεσιν Θεῷ ἐπὶ τῇ μνήμῃ Κυρίῳ ἀναπέμπομεν, οἱ δοξάζοντες ἀγῶνας μάκαρ τοὺς λαμπρούς, δι᾽ ὧν Βασιλείας οὐρανῶν, καὶ αἰωνίων ἀγαθῶν κατηξιώθης τυχεῖν.

Θεοτοκίον

Ὁ ταῖς ἄνω στρατηγίαις ὢν ἀπρόσιτος, ἐκ σοῦ σαρκὶ τικτόμενος ὑπερφυῶς ἐπέφανεν ἡμῖν, διό σε ὡς Τούτου ἀληθῆ Μητέρα οὖσαν οἱ πιστοὶ ὁμολογοῦμεν ἀεί.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Σημείοις καὶ τέρασι, μάκαρ τὴν ποίμνην τὴν σήν, ἐπλούτησας ἐν Χριστοῦ τῇ ἰσχύϊ, τοῦ ἐνοικοῦντος ἐν σοὶ πανθαύμαστε. Ζῶν λειτουργὸς γὰρ Αὐτοῦ ἐχρημάτισας καὶ μετὰ πότμον αὐτῷ συμβασιλεύεις ἀεί.

Κομπάζει ἡ Ἤπειρος, καὶ ἡ Εὔροια μέγα φρονεῖ, καὶ λαμπρῶς ἐπιφαίνουσα πᾶσι ἐν τῇ μνήμῃ τῇ σῇ μακάριε, καὶ ὥσπερ κόσμον βασίλειον φέρουσα σκῆνος τὸ σόν, ἀνυμνεῖ καὶ εὐλογεῖ τὸν Θεόν.

Δόξα.

Ἀγγέλων ἐφέστιος, σαφῶς ἐδείχθης καὶ ἱεράρχης λαμπρός, ἀκλινῶς διοδεύσας Δονᾶτε μάκαρ ἀληθείας ὁδοὺς ἀνεκλαλήτους ἐκβοᾷς, ὁ τῶν Πατέρων Θεὸς εὐλογητός εἶ.

Καὶ νῦν. Θεοτοκίον.

Συνέλαβες ἄχραντε τὸν ἐπὶ πάντων Θεόν καὶ Κύριον, εὐδοκήσαντα σῶσαι τὸ τῶν ἀνθρώπων γένος θανάτου φθορᾶς. Ὃν ἐπαξίως ὑμνοῦντες κραυγάζομεν, Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὠιδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Νεκρωθεὶς θεοφόρε κόσμῳ θελήματι, ἐπικλήσεσι θείαις νεκρὸν ἀνέστησας, καὶ τὴν τοῦ Θεοῦ, μαρτυρίαν ἐδήλωσας, μέγιστε Δονᾶτε, ἀρχιερέων κλέος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀναβάσεσι θείαις ὡραϊζόμενος, καὶ θαυμάτων τὴν χάριν τὴν ἀδαπάνητον, καὶ τὴν ἱεράν, καὶ πανέορτον μνήμην σου, μέγιστε Δονᾶτε, τιμῶμεν εἰς αἰῶνας.

Θεοτοκίον.

Ὥσπερ πύρινος θρόνος φέρεις Πανάμωμε, τὸν τὰ πάντα ἀῤῥήτως φέροντα Κύριον, ὅθεν σε πιστῶς, ὡς τῶν ἄνω δυνάμεων, οὖσαν ἀνωτέραν, ἁγνὴ ὁμολογοῦμεν.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Θαῦμα εἰργάσω μέγιστον, νοῦν ἐκπλῆττον καὶ ἔννοιαν, νεκρὸν ἀναστήσας, τὸν μὴ συγχωρούμενον, ταφῆναι ὑπό τινος, ὃν καὶ προστάττεις φθέγγεσθαι, μετὰ δανειστοῦ τοῦ ἀπαιτοῦντος τὸ χρέος, καὶ πάλιν τοῦτον πάτερ, κοιμηθῆναι κελεύεις, ἕως τὴν τῶν ἁπάντων, ἀνάστασιν γενέσθαι.

Ὑλομανοῦσαν πάθεσι, τὴν ψυχήν μου καθάρισον, σοῦ ταῖς πρὸς τὸ θεῖον, ἱεραῖς ἐντεύξεσι, καὶ τῆς συνεχούσης με, αἰχμαλωσίας λύτρωσαι, πάτερ Ἱεράρχα καθαρῶς ἵνα ψάλλω· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τὺς αἰῶνας.

Δόξα.

Σκεῦος Ἁγίου Πνεύματος, καὶ σεπτὸν ἐνδιαίτημα, ὤφθης ἐκ νηδύος, μητρικῆς ἀοίδιμε, Θεὸν θεραπεύσας γάρ, ἀμέμπτῳ πολιτείᾳ ἔλαμψας ἡλίου τηλαυγέστερον Πάτερ, ἐδίδαξας γὰρ ψάλλειν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Σωματικαῖς μορφώσεσι καὶ ποικίλοις αἰνίγμασι, συμβολικαῖς καὶ τυπικαῖς ἐμφάσεσι, τὴν σὴν προεμήνυον, οἱ θεολόγοι γέννησιν, τὴν


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὑπερφυῶς καὶ θαυμαστήν σου Παρθένε. Διό σε γεγηθότες, εὐσεβῶς ἀνυμνοῦμεν, Χριστὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὠιδὴ θ΄. Θεὸν ἀνθρώποις.

Ἰδεῖν τὴν δόξαν Θεοῦ ἠξίωσαι, ἀπολυθείς, Δονᾶτε τοῦ γεώδους σου σώματος, καὶ συνήφθης Ὅσιε Ἁγίων χοροῖς, μέλπων σὺν ἀσωμάτοις· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατήρ, σὺν Υἱῷ τε καὶ τῷ Πνεύματι.

Ὡς φῶς ὡς ἥλιος ἐξανέτειλεν, ἡ φωταυγής, Δονᾶτε καὶ πανέορτος μνήμη σου, καὶ καταυγάζουσα τοῦ κόσμου τὰ πέρατα, λύουσα τῶν δαιμόνων, σκότος βαρύτατον, ὅθεν σε τιμῶμεν ἐν αὐτῇ, καὶ μακαρίζομεν.

Στρατὸς Ἀγγέλων σοῦ ἐκδημήσασαν, τὴν ἱεράν, ψυχὴν πρὸς τὸν Θεὸν ἀφηγήσαντο, ἕως ἦλθεν εἰς θεῖα σκηνώματα, ἔνθα εὐφραινομένων, πνεύματα ὅσιε· ὅθεν μεθ᾽ ὧν ἡμῶν μέμνησο ἀεί, τῶν μεμνημένων σου.

Θεοτοκίον.

Φωνὴν βοῶμέν σοι χαριστήριον, χαῖρε χαρά, ἁπάντων τῶν κτισμάτων διάσωσμα. Χαῖρε τεῖχος ἡμῶν ἀπροσμάχητον, χαῖρε ὁσίων δόξα, χαῖρε ἡ γέφυρα, ἡ πρὸς σωτηρίαν ἀληθῶς, κόσμον μετάγουσα.

Ἄλλος. Ἐξέστη ἐπί τούτῳ.

Τὴν ἄνω Βασιλείαν περιχαρῶς, Ἱεράρχα Χριστοῦ πανσεβάσμιε περιπολεῖς, κάλλος τὸ ἀμήχανον καθορῶν, τῆς τρισηλίου λάμψεως, μέλπεις τὸ μελώδημα τὸ φρικτόν, ὃ μέλπουσιν αἱ θεῖαι, Ταξιαρχῶν χορεῖαι, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐνθέου σου σοφίας ῥήσει σοφέ, καὶ πλημμύρᾳ τῶν λόγων σου ἔλυσας, ψεύδους δεινοῦ, τὴν ὕλην Δονᾶτε τερατουργέ, καὶ εὐσεβῶν κατήρδευσας, ψυχὰς καρποφόρους ταύτας δεικνύς· διό σε κατὰ χρέος, τὴν μνήμην σου τελοῦντες, ἀκαταπαύστως μεγαλύνομεν.

Δόξα.

Διφρείαν φωτοφόρων σου ἀρετῶν, ὡς πυρίφορον ἅρμα ἀνέδειξας, Πάτερ σοφέ, καὶ Ἠλιοὺ πολίτευμα, ἔσχηκας ἀμέμπτως βεβιωκώς, Ἱεραρχῶν χορείαις, καὶ πᾶσι τοῖς Ἁγίοις, σὺν ἀσωμάτοις αὐλιζόμενος.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγνὴ δεδοξασμένη Μήτηρ Θεοῦ, τοὺς ὑμνοῦντάς σε πόθῳ περίσῳζε, τῶν πειρασμῶν, ὄχλον διαλύουσα συμπαθῶς, σὺ γὰρ Θεὸν γεννήσασα, πάντα ὅσα θέλεις ἐπιτελεῖς, ἀνύεις ἀκωλύτως, καὶ δύνασαι Παρθένε, διό σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλάρια
Πρῶτον τῆς ἑορτῆς
εἶτα τοῦ Ἁγίου. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Τοὺς πόθῳ ἑορτάζοντας, τὴν σὴν φαιδρὰν πανήγυριν, Δονᾶτε θαυματοφόρε, ἱεραρχῶν ὡραιότης, πάσης ἀνάγκης λύτρωσαι, καὶ βλάβης τοῦ ἀλάστορος, δίδου πταισμάτων ἄφεσιν, ὡς εἰληφὼς ἐξουσίαν, παρὰ Χριστοῦ τοῦ Σωτῆρος.
ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Φῶς νοητὸν καὶ ἄῤῥητον, τῆς Ἁγίας Τριάδος, ἔχων ἐν τῇ καρδίᾳ σου, οἰκητήριον ὤφθης, θαυματουργὲ Ἱεράρχα, Πνεύματος τοῦ Ἁγίου, διὸ καὶ χάριν εἴληφας, τοῦ ἰᾶσθαι τὰς νόσους τῶν εὐσεβῶς, σὲ μακαριζόντων καὶ αἰτουμένων, τὴν σὴν θερμὴν ἀντίληψιν, καὶ ταχεῖάν σου σκέπην.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἕτερον. Ἦχος γ'. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὡς παῤῥησίαν ἔχων, πρὸς τὸν Φιλάνθρωπον μάκαρ, δυσώπει τοὺς σὲ ὑμνοῦντας, ἐκ πειρασμῶν λυτρωθῆναι, καὶ δόξης τῆς ἀνεσπέρου, τυχεῖν ἐν ὥρᾳ τῆς δίκης.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ἱστῶμεν στίχ.δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν εὐσεβούντων τὰ πλήθη, τὴν ἱερὰν ἑορτήν, ἐπιτελοῦντες δεῦτε, πιστῶς εὐωχηθῶμεν, τοῦ θείου Ἱεράρχου καὶ τῷ Χριστῷ, ἀνακράξωμεν λέγοντες· δόξα τῷ μόνῳ Δεσπότῃ τῷ δι'αὐτοῦ, ἐργαζομένῳ τὰ τεράστια.

Τῶν οὐρανίων τὰ κάλλη, κατοπτριζόμενος, τῶν ἐπὶ γῆς ῥεόντων, εἰς οὐδὲν ἐλογίσω, ὅθεν καὶ ἀνέπτης χαρμονικῶς, ἔνθα φῶς τὸ τρισήλιον, ἀπολαβὼν τῶν καμάτων τὰς ἀμοιβάς, Ἱεράρχα παμμακάριστε.

Εὐφραίνου τέρπου ἡ πόλις, Εὔροια σήμερον, ἐν σῇ γὰρ ἀνεφάνη, ὁ λαμπρὸς ποιμενάρχης, παρέχων τῇ Σωρείᾳ ἁγιασμόν, καὶ ὑδάτων τὴν ἴασιν, ἔτι δὲ ὄμβρον οὐράνιον καὶ τῆς γῆς, τοῦ δεινοῦ αὐχμοῦ ἀπόλυσιν.

Θανατηφόρον θηρίον, Πάτερ ἐδίωξας, σῇ προσευχῇ παμμάκαρ, ἐκ πηγῆς καὶ τὴν παῖδα, τῶν θείων βασιλέων τοῦ πονηροῦ, ἠλευθέρωσας δαίμονος, ὅθεν ἡ Ἤπειρος πᾶσα περιχαρῶς, ἑορτάζει σου τὴν κοίμησιν.

Δόξα. Ἦχος πλ.α'.

Ἀνέτειλε τὸ ἔαρ, δεῦτε εὐωχηθῶμεν. Ἐξέλαμψεν ἡ Ἀνάστασις Χριστοῦ, δεῦτε εὐφρανθῶμεν. Ἡ τοῦ Ἱεράρχου μνήμη τοὺς πιστοὺς φαιδρύνουσα ἀνεδείχθη. Διὸ φιλέορτοι, δεῦτε μυστικῶς αὐτὸν

πανηγυρίσωμεν. Οὗτος γὰρ ὡς καλὸς ποιμενάρχης ἠνδρίσατο κατὰ τῶν δαιμόνων, καὶ τούτους κατῄσχυνε, μιμητὴς γενόμενος τῶν θείων Μαθητῶν τοῦ Χριστοῦ. Οὐκ ἐδίστασε ταῖς πρὸς Θεὸν ἐντεύξεσι ταῖς ἑαυτοῦ, ἀλλ' ἀνδρικῶς ἐκαρτέρει ταῖς ἀγρυπνίαις, Χριστῷ οἰκειωσάμενος. Αὐτῷ βοήσωμεν·Δονᾶτε πάτερ ἱκέτευε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.
Εἰς τὴν Θείαν Λειτουργίαν. Τυπικά. Αἱ γ' καὶ στ' ᾠδαί.
Ὁ Ἀπόστολος τοῦ ἁγ.Χρυσοστόμου(Τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς)-13 Νοεμβρίου.
Εὐαγγέλιον, τὸ ἱεραρχικόν, αὖθις τῆς 13ης Νοεμβρίου
Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

Χαίροις τῆς Εὐροίας θεῖος ποιμήν, καὶ Ἠπείρου μέγας, πολιοῦχος καὶ ἀρωγός. Χαίροις τῆς Σωρείας, τὸ κλέος Ἱεράρχα, καὶ Ἐκκλησίας πάσης, Δονᾶτε καύχημα.

Φύλαττε Δονᾶτε θαυματουργέ, κώμην τοῦ Βοδίνου, τὴν τιμῶσάν σε εὐλαβῶς, πάντοτε παρέχων τοῖς ὧδε κατοικοῦσι, τὴν θείαν εὐλογίαν, ταῖς ἱκεσίαις σου.

Στίχοι

*Τοὺς σὲ τιμῶντας φύλαττε, ὦ Δονᾶτε,*
*Καὶ Βασιλείαν οὐρανῶν δὸς ὡς δῶρον.*